Χριστουπόλεως Μητρόπολις 1317.

Η σύνοδος παραχωρεῖ εἰς τὸν Μητροπολίτην Χρι-
στουπόλεως λόγῳ ἐπιδόσεως τὴν ἀρχιεπισκοπὴν Δράμας.

Acta Patr. Constant. T. A σ. 68-69

«Τοὺς μαχομένους προεδρεύειν καὶ τὰ ἐφόρους εἶναι καὶ οἰκονόμους ψυ-
χῶν ἀνθρώπων ἐχρῆν καθεστηκέναι, ἀλλ' ὡς δυνατὸν προ-
μηθείας τῆς πρὸς τὸ ζῆν ἐπιτηδείων τι μετέχοντας τῶν
πνευματικῶν ἀγώνων συνεργαζομένους αὐτοῖς καὶ τὰς ἐπι-
μελείας φροντίδας συνδιαφέροντας, ὥστε δὴ καὶ τὴν χρεία
σύνδρομον ἔχοντας τῇ θελήσει πρὸς ἐκείνην ἐλεύθερον ἀπερι-
σπάστως τὸ σπουδαζόμενον. προμηθῶς γὰρ πρὸς ἀμφότερα διατι-
θέμενοι καὶ χορηγοῦντες τὰ δέοντα ἑαυτοῖς ἐπιδεῖσιν, ἐπεὶ τὸν
χρόνον τοῦτον καὶ τὴν προθυμίαν ἐπιτηδεύουσιν καὶ τὸ καθ' ἑαυ-
τοὺς ἔργον εὔοδον ἕξουσι. τείνει δὲ ὁ λόγος. ὅτι δὴ ὁ ἱερώτατος μη-
τροπολίτης Χριστουπόλεως καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγα-
πητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ὅτι τὸ
χρήσιμον ἐπὶ τοῖς ἀναγκαίοις ἡμῶν συμβαλλόμενος, τι
ἔχει καὶ τὴν μάχην τοῦτον συμβαλλομένην τὰ πρὸς χρείαν
ἀρκοῦντας κατὰ τὸ τῆς χρήσεως μέτρον αὐτῆς, καὶ δέον ἐγνώ-
καμεν ἐπιδοῦναι τινὰ τούτῳ βοήθειαν τῷ ἐνδέοντι. ἐπεὶ
συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱ-
ερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Πολυγραμμάτας τῷ
Μονεμβασίας, τῷ Γάγγρων, τῷ Πηγῶν, τῷ Βερροίας, τῷ Δυρ-
ραχίου τῷ Μηθύμνης, τῷ Γοτθίας καὶ τῷ Μεσήνης, εὑράκαμεν ἐπι-

2

150

Χριστουπόλεως Μητρόπολις 1317

αὐτὸν κατὰ λόγον ἐπιδόσεως τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς
Δράμας, καὶ τοίνυν ἀναδέξεσθαι ταύτην ἤδη, καὶ πάντα ἐνεργή-
σῃ ἐν αὐτῇ, χειροθεσίας δηλαδὴ πρεσβυτέρων καὶ διακό-
νων καὶ τἄλλα, ὅσα κανονικῶς ἀρχιερεῦσιν ἐφεῖται. [illegible]
τῆς τοῦ ἱεροῦ συνθρόνου ἐπικαθιδρύσεως, τιμήσουσι δὲ ταῦτα
καὶ διεξαχθήσονται καὶ ὑπὸ τῶν ταύτης ἐκκλησιῶν
κληρικοί τε καὶ λαοὶ ὅσα δὴ καὶ ἀρχιερέα αὐτῶν καὶ πνευμα-
τικὸν πατέρα καὶ διδάσκαλον, τιμήσουσι δὲ καὶ πειθαρχήσου-
σι καὶ ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ νουθετοῖντο καὶ διδάσκοιντο εἰς
σωτηρίαν ἀφορῶσιν αὐτῶν. τούτου γὰρ χάριν καὶ τὸ παρὸν
ἐπιδέδοται γράμμα τῷ ἱερωτάτῳ μητροπολίτῃ Χριστουπόλεως,
ὑπερτίμῳ καὶ προέδρῳ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Δρά-
μας, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ
τῆς ἡμῶν μετριότητος.

\+ ἐν ἔτει ͵ζωλ´ Μαΐῳ ἰνδ. ιε´ +